eul_wid: rrg-be

*Χρυσοποιὸς Αʹ* · Alchemist I

# On the Making of Cinnabar

*Περὶ ποιήσεως κινναβάρεως*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

2.38 Περὶ ποιήσεως κινναβάρεως. —Δεῖ ἐμβαλεῖν εἰς θυείαν θείου ἀπύρου λίτραν αʹ, καὶ ὑδραργύρου λίτρας βʹ· καὶ τρίψας ἀμφότερα εἰς τὴν θυείαν ἡμέραν μίαν· καὶ ἔμβαλε αὐτὰ εἲς βίκον ὑέλινον· .

2.38 καὶ φιμώσας τὸ στόμα αὐτοῦ μετὰ πυριμάχου πηλοκαρβώνου ἔχον τὸ πάχος δακτύλους γʹ, ἔμβαλε αὐτὰ εἰς αὐτόματον πῦρ ἐπὶ ὥρας ϛʹ ἢ θʹ. Καὶ εἶθ' οὕτως ἐκβαλὼν, εὑρήσεις αὐτὰ βωλοποιηθέντα σιδηροειδῆ. Τοῦτο λείωσον εἰς χρυσὸν μετὰ ὕδατος πολ λάκις· ὅσον γὰρ λειώσεις αὐτὰ, τοσοῦτον ξανθὰ γίνονται. Τὸ γὰρ θεῖον ἄπυρον τὰ φευκτὰ ἄφευκτα ποιεῖ. Περὶ κινναβάρεως. —Δεῖ γινώσκειν ὅτι ἡ ἀνάκαμψις τῆς κινναβάρεως διὰ νιτρελαίου γίνεται, καὶ οὕτως χωνεύεται μετὰ πυρᾶς λεπτῆς, ὡς ἐπινοεῖς.

2.38 Ἄλλως περὶ κινναβάρεως. —Δεῖ γινώσκειν ὅτι ἡ μαγνησία ἡ ὑελουργικὴ ταύτη ἐστὶν ἡ τῆς Ἀσίας, δι' ἧς ὁ ὕελος τὰς βαφὰς δέχεται, καὶ ὁ ἰνδικὸς σίδηρος γίνεται, καὶ τὰ θαυμάσια ξίφη.